Τὸ δὲ ἑξαγώνιον ἐὰν ἔχῃ διάμετρον μονάδων ι̅, μῆκος μονάδων ι̅, κάθετον μονάδων ε̅, πόσον τὸ στε- 15 *ρεὸν τοῦ ἀέρος; ποίει οὕτως· ταῦτα ἐφ' ἑαυτά· ταῦτα ἐννεακαιδεκάκις· τούτων τὸ κα'. τὴν δὲ ἐπιφάνειαν τῆς χωρήσεως· τὴν διαγώνιον ἐφ' ἑαυτήν· ταῦτα ἑνδεκάκις· τούτων τὸ ιδ'. τοσούτου ἡ ἐπιφάνεια τοῦ ἑξαγωνίου.* 20

51 *Μέτρησις ἑξαγωνίου.*

Περὶ τῆς ὑφαιρέσεως τοῦ ἔσωθεν ἀέρος, ἐὰν ἔχῃ μῆκος ποδῶν ϛ̅, πλάτος ποδῶν ϛ̅, κάθετον ποδῶν γ̅

1—12 V fol. 23r. 1 τετρασειρίου V. 2 ἡ (pr.)] supra scr. V. ποδῶν (pr.)] π^ο V supra scr. πόδες m. 2. 3 τὸ μῆκος] τὴν μήκει Q. 4 ἑνδεκάκι] ια V. 5 ιδ'] Hultsch, ιβ' PQ. 6 δ' (alt.)] Hultsch, om. PQ. 7 η'] addidi, om. PQ. 8 ψμδ] Hultsch, ψμα PQV. 9 σύνθες] θὲς V. καὶ—10 ∟'] addidi, om. PQV. 10 τρισσάκις] τρισ^σάκις V, τρισάκις PQ. 11 ζ'] ξ V. 12 σμϛ ∟' δ'] Hultsch, om. PQV. 15 κάθετον] comp. P, καθ-

Vermessung eines viereckigen Speichers,*) **49**

dessen Durchmesser = $9\frac{1}{2}$ Fuß, Höhe = 7 Fuß, Länge = 13 Fuß. Durchmesser + Länge, davon $\frac{1}{2}$, dies mit sich selbst multipliziert, dies wiederum $\times$ 11 = $1391\frac{1}{2}$ Fuß, $\frac{1}{14} \times 1391\frac{1}{2} = 99\frac{1}{4}$ Fuß; $99\frac{1}{4} \times$ Höhe = $694\frac{1}{2}\frac{1}{4}$, dazu $\frac{1}{14} = 49\frac{1}{2}\frac{1}{8}$, also die Höhe**) = $744\frac{1}{2}$. Wenn du aber dessen Umfassung finden willst, so addiere Durchmesser und Länge, davon $\frac{1}{2} = 11\frac{1}{4}$ Fuß, $3\frac{1}{7} \times 11\frac{1}{4} = 35\frac{1}{4}$ Fuß, $35\frac{1}{4}$ $\times$ Höhe = $246\frac{1}{2}\frac{1}{4}$ Fuß.

Vermessung eines Sechsecks. **50**

Wenn aber ein Sechseck den Durchmesser = 10 hat, Länge = 10 und Höhe = 5, wie viel beträgt dann der Inhalt des leeren Raums?***) Mache so: die gegebenen Zahlen unter sich multipliziert, dies $\times$ 11, davon $\frac{1}{21}$. Und die Fläche des Innenraums†): die Diagonale mit sich selbst multipliziert, dies $\times$ 11, davon $\frac{1}{14}$. So viel ist die Fläche des Sechsecks.

Vermessung eines Sechsecks. **51**

In bezug auf den Abzug des inneren Hohlraums, wenn er die Länge = 6 Fuß hat, Breite = 6 Fuß, Höhe = 3 Fuß

*) Ein (unterirdischer) Getreidebehälter mit viereckiger Basis und Tonnengewölbe; die Berechnung nach groben empirischen Formeln, die Zahlen meist abgerundet, s. Tannery l. c. S. 367 ff. (447 ff.).

**) Gemeint ist Volumen.

***) Es handelt sich wie in 51 um einen prismatischen Behälter auf sechseckiger Basis. Da Durchmesser (Breite) und Länge gleich sind, muß darunter (ungenau) der Durchmesser des umschriebenen Kreises verstanden werden. Die Formel $\frac{d^2\pi}{6} \times h$ ist eine rohe empirische.

†) Die innere Fläche ohne die Umfassung; sie wird berechnet als ein Kreis mit der Diagonale (d_1) als Durchmesser:

$$\frac{d_1{}^2\pi}{4}.$$

ἔτου Q. 18 χωρήσεως] scripsi, χρήσεως PQ. ἑνδεκάκις] ρα′ P, ια′ Q. 19 ἑξαγώνου P. 23 πλάτος] καὶ Q.

ἐκτὸς τοῦ πάχους τοῦ βησάλου, ποίει οὕτως· πολυπλασίασον τὸ μῆκος ἐπὶ τὸ πλάτος· γίνονται πόδες $\overline{\lambda\varsigma}$· ταῦτα ἐπὶ τὴν κάθετον· γίνονται πόδες $\overline{\rho\eta}$· ταῦτα δισσάκις· γίνονται $\overline{\sigma\iota\varsigma}$· τούτων τὸ γʹ· γίνονται πόδες $\overline{o\beta}$· καὶ εὑρίσκεις τοὺς λαγῶνας. 5

52 Μέτρησις ὀκταγώνου.

Ἔστω ὀκτάγωνον ἰσόπλευρον καὶ ἰσογώνιον καταγράψαι. ποίει τετράγωνον σχῆμα καὶ βλέπε αὐτοῦ τὴν διαγώνιον· καὶ ὅταν εὕρῃς τὸ ∠ʹ τῆς διαγωνίου, λάμβανε ἀπὸ γωνίας εἰς γωνίαν, καὶ εὑρίσκεις στῆσαι τὰς 10 πλευράς.

53 Ἄλλη μέτρησις ὀκταγωνίου.

Ἔστω ὀκταγώνιον ἰσόπλευρον καὶ ἰσογώνιον ἔχον τὴν πλευρὰν $\overline{\kappa\delta}$. ταῦτα ἐφ' ἑαυτά· ταῦτα ἐπὶ τὸν $\overline{\kappa\vartheta}$· ταῦτα μέριζε ἐπὶ τὸν $\overline{\varsigma}$· τοσοῦτον τὸ ἐμβαδόν. τὴν δὲ 15 περίμετρον· τρισσάκις τὴν διάμετρον τοῦ κύκλου· καὶ τὸ ιδʹ· καὶ εὑρίσκεις τὴν πλευρὰν ἀκριβῶς.

54 Μέτρησις χωρῶν.

Ἔστω χώρα τρίγωνος ἰσοσκελής. μετρήσωμεν οὕτως· τὸ ἥμισυ τῆς ὑποποδίας ἐπὶ τὸ μῆκος τῆς κατα- 20 τεινούσης, καὶ εὑρήσεις τὴν ἀλήθειαν.

55 Τρίγωνον χώραν καὶ παρασκελῆ μετρήσωμεν οὕτως· ἡ μὲν κατατείνουσα ἀριστερὰ ἔχουσα ἀκαίνας $\overline{\tau\xi\epsilon}$, ἡ δὲ

---

3 $\overline{\rho\eta}$] $\overline{\rho\mu}$ (superscr. H) R, ρμʹ QP. 4 δισσάκις] Hultsch, δισάκις P et in ras. Q. γίνονται (pr.)] ων ℞ P, ὧν γίνεται Q (ὧν in ras.), ὁμοῦ Hultsch. 5 εὑρίσκει Q. 6—11 V fol. 23r. 6 ὀκταγώνου] PV, ὀκταγωνίου Q. 9 διαγώνου V. 12 ὀκταγώνου Q. 13 ὀκτάγωνον Q. 15 τὸν] τῶν Q. τοσοῦτο Q; fort. τοσούτου. 16 τρισάκις (superscr. σ) Q. τὴν] Q, τὴν δὲ P. 17 εὑ-

die Dicke der Umfassung abgerechnet, mache so: Länge $\times$ Breite = 36 Fuß, 36 $\times$ Höhe = 108 Fuß, 2 $\times$ 108 = 216, $\frac{1}{3} \times 216 = 72$ Fuß; so findest du die Hohlräume.*)

Vermessung eines Achtecks.**) 52

5 Es sei zu konstruieren ein gleichseitiges und gleichwinkliges Achteck. Mache ein Quadrat und betrachte seine Diagonale; und wenn du die Hälfte der Diagonale gefunden hast, so nehme von Winkel zu Winkel;***) so findest du, wie die Seiten zu errichten.

10 Eine andere Vermessung eines Achtecks.†) 53

Es sei ein gleichseitiges und gleichwinkliges Achteck mit Seite = 24. 24 $\times$ 24, dies mit 6 dividiert; so groß der Flächeninhalt. Und den Umkreis: 3 $\times$ Durchmesser des Kreises, davon $\frac{1}{14}$; so findest du die Seite genau.

15 Vermessung von Grundstücken.††) 54

Es sei ein Grundstück von der Gestalt eines gleichschenkligen Dreiecks. Das können wir vermessen folgendermaßen: $\frac{1}{2}$ Grundlinie $\times$ Länge der Schenkel; so wirst du die genaue Größe finden.

20 Ein dreieckiges und ungleichschenkliges Grundstück 55 können wir messen folgendermaßen: der linke Schenkel =

*) Formel $\frac{2}{3} d^2 h$.
**) Überschrift falsch statt: Konstruktion eines A.
***) Unverständlich.
†) Nach der Heronischen Formel (Metr. I 21) $\frac{29 s^2}{6}$. Die Formel für die Seite ist dagegen grob empirisch.
††) Ganz verkehrt (Schenkel statt Höhe).

ρίσκης Q. 18 Rursus inc. VV^a. 19 ἔστω] QV, ἐστιν V^a et comp. P. μετρήσωμεν] PV^a, ἣν μετρήσωμεν V, μέτρησον Q. 20 ἥμισυ] PQV^a, ∠′ V. ἐπὶ τὸ μῆκος] ἐπιτομῆς Q. 22 παράσκελον VV^a. μετρήσωμεν] PVV^a, μέτρησον Q. 23 ἀκαίνας] VV^a, ἀκένας PQ.

κατατείνουσα δεξιὰ ἀκαίνας ιι̅, ἡ δὲ ὑπὸ πόδα ἀκαίνας σ̅· σύμβαλε τὰς δύο κατατεινούσας, καὶ τούτων τὸ ∠′ ἐπὶ τὸ ∠′ τῆς ὑπὸ πόδα· καὶ εὑρήσεις τὴν ἀλήθειαν.

56 *Στρογγύλην χώραν ἁλωνοειδῆ μετρήσωμεν οὕτως, ἧς ἐστιν ἡ περίμετρος ἀκαινῶν φ̅μ̅, ἡ δὲ διάμετρος ἀκαινῶν ρ̅π̅. ποίει οὕτως· τὸ γ′ τῆς διαμέτρου ἐπὶ τὴν περιφέρειαν· καὶ εὑρήσεις τὴν ἀλήθειαν.* 5

57 *Χώραν μετρήσωμεν, ἥτις ἔχει τετράγωνον καὶ ἀπὸ αὐτῆς τρίγωνα δύο· τὸ τετράγωνον χωρὶς καὶ τὰ τρίγωνα χωρὶς ἐν δυσὶν σχήμασιν.* 10

58 *Χώραν ἑξάγωνον μετρήσωμεν οὕτως· τὴν μέσην τετράγωνον καὶ τὰς μέσας τριγώνους, καθὼς καὶ τὰς λοιπάς, ὁμοίως καὶ ὀκταγώνους χώρας· καὶ χωρὶς τὰ τρίγωνα.*

59 *Χώραν ἑτεροπλατοῦσαν ἐν τέσσαρσιν τόποις μετρήσωμεν οὕτως· ἔχει τὸ πλάτος ἀκαίνας κ̅, τὸ δὲ παρὰ μέσον ἀκαίνας ι̅ε̅, ἔτι ἀκαίνας ι̅β̅, τὸ δὲ στενὸν ἀκαίνας η̅· τὰ πάντα συμμίξας μέριζε τέταρτον· καὶ εὑρήσεις ι̅γ̅ ∠′ δ′. τούτους πάλιν ἐπὶ τὸ μῆκος· καὶ εὑρήσεις τὴν ἀλήθειαν. ἡ ἄκαινα ἔχει πόδας ι̅β̅.* 15 20

---

1 *ἀκένας* P. *ἀκένας* P. 2 *σύμβαλλε* P. *δύο*] β̅ QV[a]. ∠′ *ἐπὶ τὸ* ∠′] Q, ∠′ *ἐπὶ τὸ* P, ∠′ V, *ἥμισυ* V[a]. 3 *ὑπὸ πόδα*] *ὑποποδίας* V[a]. 4 *μέτρησον* Q. 5 *ἀκαινῶν*] *ἀκενῶν* P. *δὲ*] om. V[a]. 6 *ἀκαινῶν*] VV[a], om. PQ. *ποιήσωμεν* VV[a]. γ′] PV, *τρίτον* QV[a]. 7 *ἐπιφέρειαν* V[a]. 8 *μετρήσομεν* Q. *τετράγωνα* VV[a]. *ἀπ'* V. 9 *δύο*] β′ VV[a]. *τετράγωνον*] *τρίγωνον* Q. 10 *δυσὶν*] P, *δυσὶ* QVV[a]. 11 *μέτρησον* Q, *μετρήσω* V[a]. *τετράγωνον*] □ P, *τετραγώνους* QVV[a]. 12 *καὶ* (pr.)—*τριγώνους*] om. V[a]. *τὰς λοιπάς*] Hultsch, *τοὺς λοιπούς* PQVV[a]. 13 *ὀκταγῶν*[ος] V[a]. 15 *τέσσαρσιν*] P, *τέσσαρσι* QVV[a]. *μέτρησον* Q. 16 *ἀκαίνας*] *ἀκένας* P. *παρὰ*] *πάχος* V[a]. 17 *ἔτι*] PQ,

365 Akainen, der rechte = 310 Akainen, die Grundlinie = 200 Akainen; addiere die beiden Schenkel, davon $\frac{1}{2}$, dies $\times$ $\frac{1}{2}$ Grundlinie; so wirst du die genaue Größe finden.*)

Ein rundes, tennenförmiges Grundstück, dessen Umkreis 56
5 = 540 Akainen, der Durchmesser aber = 180 Akainen, können wir messen folgendermaßen. Mache so: $\frac{1}{2}$ Durchmesser**) $\times$ Umkreis; so wirst du die genaue Größe finden.

Wir wollen ein Grundstück messen, das aus einem Quadrat besteht und daran zwei Dreiecken: das Quadrat für 57
10 sich und die Dreiecke für sich als zwei Figuren.

Ein sechseckiges Grundstück können wir messen folgendermaßen: das mittlere Quadrat und die mittleren Dreiecke,***) wie auch die übrigen, ähnlich wie bei achteckigen Grundstücken; und die Dreiecke für sich. 58

15 Ein Grundstück, dessen Breite an vier Stellen wechselt, können wir messen folgendermaßen: die Breite = 20 Akainen, neben der Mitte = 15 Akainen, weiter = 12 Akainen, das schmale = 8 Akainen; addiere alles und dividiere mit 4; du wirst finden $13\frac{1}{2}\frac{1}{4}$; dies wieder $\times$ Länge; so wirst du 59
20 die genaue Größe finden.†) Die Akaina faßt 12 Fuß.††)

*) Die Formel ist ganz falsch, aber analog der in 54 für das gleichschenklige Dreieck benutzten.

**) Richtig wäre $\frac{1}{4}$.

***) Unverständlich.

†) Sehr summarisch.

††) Römisch.

εἴτε VV^a. *ἀκαίνας* (sec.]) *ἀκένας* P. *ἀκαίνας* (tert.)] Q, *ἀκένας* (*αι* supra) VV^a, *ἀκένας* P. 18 *τέταρτον*] Hultsch (fort. *τὸ τέταρτον*), *τετάρτου* P, *τετάρτας* Q, *δ˜* V^a, *δ̄* V. 19 *τούτους*] *ταύτην* V. 20 *ἡ—ιβ*] om. V. *ἄκαινα*] V^a, *ἄκενα* PQ.

P 60

Περὶ σταθμῶν.

1 Τάλαντον. τοῦτο ρκε λιτρῶν ὑπάρχει, κατὰ δὲ τὰς λεπτότητας ἐν τῷ νομίσματι εἰς λεπτὸν κοπείσας εἰς ,ξ λεπτὰ διαιρεῖται, ἃ καλεῖται ἀσσάρια, ὃ ἑρμηνεύεται ἐκ τῆς Ἑβραΐδος ἠλαττωμένον. ξ δὲ ἀσσάρια ὑπῆρχεν 5 ὁ ἀργυροῦς. δηνάρια δὲ ἦσαν ἐκεῖνα β τὰ ὑπὸ τῆς χήρας εἰς τὸ γαζοφυλάκιον βεβλημένα, ἃ καὶ δύο λεπτὰ ἐκαλεῖτο· τὰ γὰρ ἀσσάρια λεπτεπίλεπτα ἦσαν.

2 Κεντηνάριον ἀπὸ τοῦ παρὰ Ῥωμαίοις κεντούμ, ὅ ἐστιν ρ. 10

3 Λίτρα δὲ ἐξ Ἑβραΐδος· λὶ γὰρ λέγεται ἐμοί, τρὰ δὲ τὸ διαφέρει.

4 Ἡ οὐγκία ἔχει στατῆρας β, Ἑβραιστὶ δὲ λέγεται χουζά. ἔστι δὲ ὁ στατὴρ L′ μὲν Γο, δύο δὲ δίδραγμα, ἃ καλεῖται ἐπικεφάλαια, κατὰ δὲ Ῥωμαικὴν διάλεκτον 15 καπιτίων· καπουδ γὰρ τὴν κεφαλὴν καλοῦσιν. ἔστι δὲ τὸ δίδραγμον δύο δραγμαί.

5 Σίκλον ἀπὸ τῆς σεκὲλ Ἑβραΐδος, ὅ ἐστι ῥοπή· ἔχει δὲ δύο τὰ λεπτὰ καλούμενα, ἅ εἰσι δραγμαὶ β.

6 Δύο δὲ δίδραγμά εἰσι δύο σίκλοι κατὰ τὸ σίκλον 20 τὸ ἅγιον, οἳ ποιοῦσι στατῆρα ἕνα.

7 Ὁ στατὴρ ἢ ὁλκὴ β διδράγμων ἀποτελεῖ μέτρον.

8 Καλεῖται δὲ κοδράντης τὸ σίκλον, ἑρμηνεύεται δὲ ἐκ τῆς Ἑβραΐδος κοδράντης ἤγουν ἀπόδεσμος.

9 Αὐτὸ δὲ τὸ σίκλον δ′ μὲν τῆς Γο ἐστίν, L′ δὲ τοῦ 25 στατῆρος, β δὲ δραγμὰς ἔχει· η′ γὰρ τῆς Γο ἐστὶν ἡ δραγμή. καλεῖται δὲ ἡ δραγμὴ καὶ ὁλκή.

---

2 λιτρῶν] Salmasius, ς P. 8 ἦσαν] L, εἰσι O, ἦν I. 16 καπίτιον Hultsch. καπουδ] καπουδ^ς L, καππουδης O, κα-

Von Gewichten. 60

1 Talent. Dies ist zu 125 Liter, und in bezug auf die Unterabteilungen, die als Kleinmünze geprägt sind, wird es in 6000 Kleinmünzen geteilt, die Asse heißen, was aus dem Hebräischen übersetzt „verkleinert“ bedeutet. 60 Asse sind ein Silberstück. Denare aber waren jene zwei, die von der Witwe in den Tempelstock gelegt wurden,*) welche auch 2 Kleinmünzen genannt wurden. Denn Asse waren Kleinmünzen zweiten Grades.

2 Kentenarion von dem römischen „kentum“, d. h. 100.

3 Litra stammt aus dem Hebräischen; denn „li“ heißt „mir“, „tra“ aber „zerteilt“.

4 Die Unze hält 2 Statere; hebräisch heißt sie „chuza“. Ein Stater ist $\frac{1}{2}$ Unze, 2 Didragma, die „Kopfgeld“ heißen, in römischer Sprache „kapition“; denn „kapud“ nennen sie den Kopf. Ein Didragmon aber ist 2 Dragmen.

5 Siklon stammt vom hebräischen „Sekel“, d. h. Gewicht; es hat 2 sogenannte Kleinmünzen, die 2 Dragmen sind.

6 Zwei Didragma aber sind zwei Siklen nach dem heiligen Siklon, die 1 Stater ausmachen.

7 Der Stater oder Holke füllt das Maß von 2 Didragma.

8 Das Siklon wird Kodrantes genannt, Kodrantes aber ist hebräisch und bedeutet „Bündel“.

9 Das Siklon selbst ist $\frac{1}{4}$ Unze, $\frac{1}{2}$ Stater, und hat 2 Dragmen; die Dragme ist nämlich $\frac{1}{8}$ Unze. Die Dragme wird aber auch Holke genannt.

*) Marc. 12,41 ff.: *λεπτὰ δύο, ὅ ἐστιν κοδράντης.* Luc. 21,1 ff.: *δύο λεπτά.*

ποὺτ I. 23 *δὲ*] I, *διὰ* e corr. O, *δὲ ς̀* L. *τὸ σίκλον*] L, om. O; *τὸ σίκλον γὰρ τουτέστιν α΄ ∟΄ ἐξάγιον* I, sed del.; *σίκλον δίδραγμον κοδράντης κατὰ σταθμὸν τὸ αὐτὸ γίνεται, τουτέστιν ᾱ ∟΄ ἐξάγ΄* mg. P. 24 *ἤγουν*] I, *ηγ*ᵒ P. 25 *τὸ*] L, om. P. 27 *δραγμὴ* (alt.)] L, *δραχμὴ* I et -*χ*- e corr. O.

P 10 Ἡ θρὶξ δὲ τοῦ κουρεύματος τοῦ Ἀβεσαλὼμ ἦν ὁλκῆς σίκλων ρκε̅, ὅ ἐστιν Γο λα̅ καὶ σίκλου α̅, ἢ β̅ 𐅵′ λιτρῶν καὶ σίκλου ἑνός.

11 Ὀβολός. τοῦτο ὄγδοόν ἐστι τῆς Γο ἀπὸ σιδήρου πεποιημένον. βέλος δὲ τοῦτο ἦν· πρὸ γὰρ τῆς Χριστοῦ (5) παρουσίας διὰ τὸ ἐν πολέμοις συγκεῖσθαι τὴν ζωὴν αὐτῶν χρείαν εἶχον πρὸς τοὺς ὑπεναντίους καὶ διὰ τῶν τοιούτων τὰς διοικήσεις ἐποιοῦντο ἑκάστου διδόντος ε̅ βέλη ἢ ι̅ καὶ ἄρτον ἀγοράζοντος ἤ τι ἄλλο. ἔστι δὲ τοῦτο κατὰ μὲν τὴν ὁλκὴν η′ τῆς Γο. ἦν δὲ καὶ (10) ἕτερος ὀβολὸς ἐξ ἀργύρου τυπτόμενον νόμισμα, ὃ ἦν λεπτότατον, ὀγδοηκοστὸν δὲ τῆς Γο· τὸ δὲ δίδραγμον κ̅ ὀβολοί, ὅ ἐστι δ′ τῆς Γο.

12 Ὁ δὲ χαλκὸς ἀργύριόν ἐστι τετυπωμένον, ὅθεν παρὰ Ἀλεξανδρεῦσι τὰ ἀργύρια χαλκινὰ καλεῖται. (15)

13 Ἔστι δὲ η′ τῆς Γο ἡ δραχμή.

14 Μνᾶ ἀντὶ τοῦ μανή· τῇ γὰρ Ἑβραΐδι μανὴ ὁ ἄργυρος καλεῖται. ἡ μὲν Ἰταλικὴ μ̅ στατήρων ἐστί, τουτέστιν Γο κ̅, 𐅻 α̅ καὶ διμοίρου, ἡ δὲ Θηβαικὴ στατήρων ξ̅, τουτέστι λιτρῶν β̅ 𐅵′. (20)

15 Πολλοὶ δὲ τύποι ἀργυρίων τὸ πάλαι, οὓς νουμμοὶ ἐκάλουν ἀπὸ Νούμμα, ἐξ οὗ καὶ τὸ νόμισμα.

16 Μιλιαρίσιον δὲ τὸ ἀργυροῦν, ὅ ἐστι α̅ στρατιωτικὸν δόμα· μιλιτία γὰρ ἡ στρατεία.

17 Ὁ φόλλις ρκε̅ ἀργύρια πληροῖ· καλεῖται δὲ παρὰ (25) Ῥωμαίοις θύλακος.

18 Μαρὴς μέτρον ἐστὶ Ποντικὸν β̅ ὑδριῶν, ἡ δὲ ὑδρία παρ᾽ αὐτοῖς ι̅ ξεστῶν ἐστιν, ὡς εἶναι τὸν κύπρον κ̅ ξεστῶν Ἀλεξανδρινῶν.

---

2 ἢ] Hultsch, ε P. 3 Post λιτρῶν add. καὶ οὐγγίας μιᾶς Hultsch. 16 δραχμή] IO, δραγμή L. 21 νουμμοὶ] I, ν̆ν′ L,

Das Haar der Schur Abesaloms war an Gewicht 125 10
Siklen,*) d. h. 31 Unzen und 1 Siklon, oder $2\frac{1}{2}$ Liter und
1 Siklon.

Obol. Dies ist $\frac{1}{8}$ Unze, aus Eisen gemacht. Es war aber 11
5 ein Wurfgeschoß; denn vor der Gegenwart Christi hatten
sie solche nötig wider ihre Gegner, weil das Leben immer
von Kriegen heimgesucht wurde, und mittels solcher geschah
der Handelsverkehr, indem jeder 5 oder 10 Wurfgeschosse
gab und dafür Brot oder anderes einhandelte. Es ist aber
10 an Gewicht $\frac{1}{8}$ Unze. Es gab aber auch einen anderen Obol,
eine geprägte Silbermünze, die sehr klein war, $\frac{1}{80}$ der Unze;
ein Didragmon aber ist 20 Obol, d. h. $\frac{1}{4}$ Unze.

Ein Chalkos ist ein geprägtes Silberstück, weshalb bei 12
den Alexandrinern Silbergeld Kupfernes genannt wird.

15 Die Drachme ist $\frac{1}{8}$ Unze. 13

Mine steht für Mane; denn hebräisch heißt Silber Mane. 14
Die italische ist 40 Statere, d. i. 20 Unzen, $1\frac{2}{3}$ Liter, die
thebaische aber 60 Statere, d. h. $2\frac{1}{2}$ Liter.

In alter Zeit gab es viele Arten von geprägtem Silber- 15
20 geld, die „Nummi" genannt wurden nach Numa, nach dem
es auch Nomisma heißt.

Miliarision ist das Silberstück, das 1 Soldatengabe ist; 16
„militia" heißt nämlich Kriegsdienst.

Der Follis beträgt 125 Silberstück; es bedeutet bei den 17
25 Römern Beutel.

Mares ist ein pontisches Maß zu 2 Kannen, die Kanne 18
aber ist bei ihnen 10 Xesten, so daß der Kypros 20 alexan-
drinische Xesten ist.

*) 2. Kön. 14, 26: *διακοσίους σίκλους ἐν τῷ σίκλῳ τῷ βασιλικῷ.*

---

lac. O. 23 *ᾱ στρατιωτικὸν*] *α' στατιωτικὸν* L, *ἀστρατιωτικὸν* IO. 25 *Ὁ φόλλις*] Salmasius, *εφολ'* L, *ὀφολ'* O, *ὀβόλους* I. *ἀργύρια*] O, *ἀργύριον* P. 27 *Μαρὴς*] P, *μάρις* I. *Ποντικὸν*] I, *ποντικων* P.

P 19 Ὁ κύπρος μέτρον ἐστὶ μοδίων $\overline{β}$, λέγεται δὲ εἶναι παρὰ τοῖς Ποντικοῖς χοινίκων $\overline{ε}$· ἡ δὲ χοῖνιξ ἐστι ξεστῶν $\overline{β}$, ὡς εἶναι τὸν κύπρον $\overline{κ}$· ὁ γὰρ μέγας παρ' αὐτοῖς μόδιος ξεστῶν ἐστι $\overline{κδ}$.

20 Λίτρα παρὰ Ῥωμαίοις ἑρμηνεύεται λίβρα, ἥτις ἐτυ- 5 μολογεῖται παρ' αὐτοῖς ἰσότης ἤτουν ἰσοκανονία· ἔχει δὲ ὀγκίας $\overline{ιβ}$. παρήχθη δὲ τὸ τῆς Γο ὄνομα ἐξ Ἑλληνίδος ἀπὸ τοῦ ὄγκου.

21 Ἡ δὲ λίτρα ἐστὶ $\overline{σπη}$ γραμμάτων, ἕκαστον δὲ γράμμα κερατίων ἐστὶν $\overline{ϛ}$· ταῦτα δέ ἐστιν ὀστᾶ ἀπὸ κερα- 10 τείας καρπῶν, ὁ δὲ ὀστῶν οὗτος, ἂν ᾖ τέλειος, ὁλκὴν ποιεῖ κριθῶν εὐκάρπων $\overline{β}$, ὡς εἶναι τὴν μὲν λίτραν κριθῆς κόκκων $\overline{͵γυνϛ}$, κερατίων $\overline{͵αψκη}$, γραμμάτων $\overline{σπη}$, οὐγκιῶν $\overline{ιβ}$· ἡ δὲ οὐγκία ἐστὶ γραμμάτων $\overline{κδ}$.

22 Ἄλλως δὲ πάλιν μερίζεται ἡ οὐγκία παρὰ Ἑβραίοις 15 εἰς στατῆρας $\overline{β}$, ὁ δὲ στατὴρ ἔχει σίκλους $\overline{β}$, τὸ δὲ σίκλον ἔχει λεπτὰ δύο, τὸ δὲ λεπτὸν ὁλκὴ $\overline{α}$ ἐστί, η' τῆς Γο.

23 Παρά τισι δὲ καὶ ὀβολὸς νόμισμα ἀπὸ τοῦ παρὰ τῶν βασιλέων ἐν τούτῳ νομίσαι τὸν κόσμον διοικεῖσθαι. 20 ἀργύριον καλοῦμεν διὰ τὸ ἐξ ἀργύρου τετύφθαι. μέγα δέ ἐστιν, ὃς ἐκλήθη ἀργυροῦς, δηναρίων $\overline{ρ}$, ἕκαστον δὲ δηνάριον ἀσσαρίων ἐστὶν $\overline{ξ}$.

24 Ὁ δὲ ἄργυρος μανὴ παρ' Ἑβραίοις λέγεται.

25 Ξέστης ἐξ Ἑλληνίδος ἀπὸ τοῦ ξέεσθαι τὰ μεγάλα 25 μέτρα εἰς λεπτότητα.

---

3 γὰρ] fort. δὲ. 4 μόδιος] Hultsch, μοδιων P. 5 ἐτυμολογεῖται] I, ἑτοιμολογεῖται P. 6 ἤτουν] P, ἤγουν I. 7 ὀγκίας] L, ὀγγίας O, οὐγκίας I. 11 καρπῶν] P, καρποῦ I.

Der Kypros ist ein Maß zu 2 Scheffeln, und es heißt, 19
daß dieser*) bei den Pontikern 5 Choinikes hält; die Choinix
aber hält 2 Xesten, so daß der Kypros 20 hält. Der große
Scheffel dagegen hält bei ihnen 24 Xesten.

5 Liter heißt römisch „libra", was nach ihrer Etymologie 20
Gleichheit oder Gradheit bedeutet; es hält aber 12 Unzen.
Der Name Unze aber ist aus dem Griechischen abgeleitet
von „onchos".

Ein Liter ist 288 Gramm, jedes Gramm ist 6 Keratia; 21
10 diese aber sind Steine der Früchte des Johannisbrotbaums,
und dieser Stein hat, wenn er voll entwickelt ist, das Gewicht
von 2 wohl gediehenen Gerstenkörnern, so daß ein
Liter 3456 Gerstenkörner, 1728 Keratia, 288 Gramm, 12
Unzen ist; die Unze aber ist 24 Gramm.

15 Auf andere Weise wiederum wird die Unze bei den 22
Hebräern geteilt in 2 Statere, der Stater aber hat 2 Siklen,
das Siklon 2 Lepta, und das Lepton ist 1 Holke, $\frac{1}{8}$ Unze.

Bei einigen aber heißt auch der Obol Nomisma, weil 23
sie meinen, daß die Welt damit von den Königen verwaltet
20 werde. Argyrion nennen wir das Geld, weil es aus Silber
geprägt ist. Das große Geld, das Silberstück genannt ist,
hält 100 Denare, und jeder Denar ist 60 As.

Das Silber aber heißt bei den Hebräern „mane".**) 24

Xestes stammt aus dem Griechischen von „xeesthai", 25
25 weil die großen Maße zur Kleinheit abgeschabt werden.

*) Der Scheffel.
**) Vgl. 14.

οὗτος] Hultsch, *ουτως* P. 13 *κόκκων*] Hultsch, *κόκκον* P. 17 *δὲ*] I, om. P. 20 *τῶν βασιλέων*] I, *των βασιλεῦσιν* L, *τοῖς βασιλεῦσιν* O. *νομίσαι*] P, *τῷ νομίσματι* Hultsch. 22 *ὃς*] *ὃ* Gronovius. *ἕκαστον*] I, *ἑκατον* P. 24 *ἄργυρος*] I, *ἀργυρ*ˢ L, *ἀργυροῦς* O. 25 *ἐξ*] addidi, om. P. *Ἑλληνικὸς* Hultsch.

P 61

Περὶ μέτρων.

1 Κόρος μόδιοι $\overline{\lambda}$· παρ' Ἑβραίοις δὲ χὸρ λέγεται.

2 Λεθὲκ μόδιοι $\overline{\iota\varepsilon}$.

3 Γόμορ ὁμοίως μόδιοι $\overline{\iota\varepsilon}$.

4 Βάτον μέτρον ξεστῶν $\overline{\nu}$.

5 Μνὰς δέκα μόδιοι σίτου ἢ κριθῆς· εἴληπται ἐκ τοῦ μεδιοὺμ Ῥωμαίου, ὅ ἐστι μέσον.

6 Μέδιμνος. Σαλαμινοὶ μοδίων $\overline{\varepsilon}$, Σικελοὶ δὲ $\overline{\delta}$ ∟'.

7 Σάτον μόδιον κουμουλάτον, παρ' Ἑβραίοις θηλυκῶς, παρ' Ἕλλησιν δὲ οὐδετέρως. ἔστι δὲ μόδιος κουμουλάτος παρ' Ἑβραίοις, καὶ διὰ τοῦ κουμουλάτου τὸ δ' τοῦ μοδίου τὸ ὑπέρχυμα εἴρηται σαὼ ἤγουν λῆψις ἢ ἄρσις. μόδιον παρ' Ἑβραίοις ξεστῶν $\overline{\kappa\beta}$.

8 Κάβος πῆ μὲν τὸ δ' τοῦ μοδίου, πῆ δὲ τὸ ε', πῆ δὲ τὸ ϛ'. καβὰ δέ ἐστιν Ἑβραιστὶ τὸ ἔτεμεν, καὶ διὰ τὸ τέμνεσθαι εἰς μικρὰ τὸ μόδιον οὕτως ὠνομάσθη· παρὰ δὲ Ἕλλησιν ἐλέχθη κάβος διὰ τὴν τρανότητα.

9 Χοῖνιξ καὶ ὑφεὶ ἓν μέν ἐστι μέτρον, διττὸν δὲ ὄνομα κέκληται, ἐν μὲν τῇ Ἑβραΐδι ἀρσενικῶς, ἐν δὲ τῇ Ἑλληνίδι θηλυκῶς. ἔστι δὲ η' τοῦ παρὰ Κυπρίοις μοδίου, ὅς ἐστι μόδιος παρ' αὐτοῖς ξεστῶν $\overline{\iota\zeta}$ καὶ ποτηρίου. τὸ δὲ ὑφεὶ ἐξ αὐτῆς τῆς Ἑβραΐδος λέγεται ὀφέν, ὅ ἐστι τῶν $\overline{\beta}$ δρακῶν τῆς χειρὸς τὸ μέτρον.

10 Δρὰξ τὸ χειρόπληθες τῆς μιᾶς χειρός.

11 Ἀρτάβη παρ' Ἑβραίοις ξεστῶν $\overline{o\beta}$, ὁμοίως δὲ καὶ ὁ μετρητὴς $\overline{o\beta}$ ἐστὶ ξεστῶν κατὰ τὸ μέτρον τὸ ἅγιον ὅ τε ὑγρὸς μετρητὴς καὶ ἡ ἀρτάβη τοῦ γενήματος.

---

6 Μνὰς] P, μνασὶς Hultsch. ἢ] I, om. P. 7 Ῥωμαίου, ὅ] O, Ῥωμαίους L, Ῥωμαίος I. 8 μοδίων] μο^{δ} P, μοδίους I. 10 Ἕλλησιν] L, Ἕλλησι IO. 12 ἤγουν] I, ηγ L, ἢ γὰρ O. 13 Ἑβραίοις] I, Ἑβραίων P. 15 καὶ] L, ὡς O, τὸ I. 18 διττὸν]

Von Maßen. 61

Koros ist 30 Scheffel; bei den Hebräern heißt es „Chor“. 1
Lethek 15 Scheffel. 2
Gomor ebenfalls 15 Scheffel. 3
5 Baton ein Maß zu 50 Xesten. 4
Mnas ist 10 Scheffel Getreide oder Gerste; es ist ab- 5
geleitet von dem römischen „medium“, d. i. mittlere.
Medimne. Die Salaminier zu 5 Scheffeln, die Sikeler aber 6
zu $4\frac{1}{2}$.
10 Saton hält einen Modius cumulatus, bei den Hebräern 7
weiblichen Geschlechts, bei den Griechen aber Neutrum. Bei
den Hebräern ist es ein modius cumulatus, und weil der
cumulatus einen Überschuß von $\frac{1}{4}$ Modius hat,*) heißt es
„Sao“, d. h. Nehmen oder Erhebung. Ein Scheffel ist bei
15 den Hebräern 22 Xesten.
Kabos ist bald $\frac{1}{4}$ Scheffel, bald $\frac{1}{5}$, bald $\frac{1}{6}$. „Kaba“ be- 8
deutet auf Hebräisch „er schnitt“, und es wurde so benannt,
weil der Scheffel in kleine Teile zerschnitten wird; bei den
Griechen aber wurde es Kabos genannt wegen des Klanges.
20 Choinix und Hyphei ist ein Maß aber doppelt benannt,
im Hebräischen männlichen Geschlechts, im Griechischen
aber weiblichen. Es ist $\frac{1}{8}$ des Scheffels der Kyprier, welcher
Scheffel bei ihnen 17 Xesten und etwas ist. Hyphei ist aus
dem Hebräischen selbst abgeleitet, nämlich Ophen, d. h. das
25 Maß von 2 Handvoll.
Drax ist 1 Handvoll. 10
Artabe ist bei den Hebräern 72 Xesten, und ebenso ist 11
auch der Metretes 72 Xesten nach dem heiligen Maß, sowohl
der Metretes für flüssiges als die Artabe von Früchten. Der

*) Die Stelle scheint nicht in Ordnung zu sein.

O, *διττω* L, *δίττα* I. 20 *Κυπρίοις*] I, *Κυπρίων* P. 21 *μοδίου*] I, *μοδι*° P. *αὐτοῖς*] scripsi, *αὐτῶν* P. *ποτηρίου*] *ποστημορίου* Hultsch. 23 *ὀφέν*] P, *ὀφεί* Hultsch. 25 *Ἑβραίοις*] I, *Ἑβραίων* P. 26 *ὁ*] I, om. L, *ἡ* O. *κατὰ*] scripsi, *καὶ* P. 27 *γεννήματος* Hultsch.

P ἀρτάβη δὲ ἐκλήθη ἀπὸ τοῦ παρ' Αἰγυπτίοις ὀρτόβ, ὅ ἐστι καλῶς συνηγμένον.

12 Μέτρα $\overline{γ}$ τὸ μικρὸν γόμορ, ὅ ἐστι ξεστῶν $\overline{ϛ}$, ὥστε εἶναι τὸ ι' τῆς ἀρτάβης.

13 Τρία μέτρα σεμιδάλεως. ταῦτα τὰ τρία μέτρα ἕκα- 5 στον γόμορ ἐχώρει, τὸ δὲ γόμορ δέκατον ἦν τοῦ μεγάλου μέτρου, τουτέστι τῆς ἀρτάβης, ὃ γίνεται $\overline{ξ}$ ξέσται καὶ ε'· ὥστε τῷ αὐτῷ μέτρῳ τοῦ γόμορ τρία μέτρα πάλιν ὑπῆρχεν, ἃ ἐγίνοντο ἀπὸ ξεστῶν $\overline{β}$ καὶ γ' ιε'. καὶ τὸ μὲν μέτρον τοῦτον ἔχει τὸν τρόπον· καὶ γὰρ 10 τὸ μάνα ἢ γόμορ ἐν μέτρῳ παρείχετο, ὅ ἐστι κατὰ μὲν τὴν ἱερωσύνην $\overline{γ}$ δεκάτωσις, κατὰ δὲ τὸ σύμβολον τοῦ ὀνόματος, ἐπεὶ πᾶν δέκατον .... γίνεται μέτρου ἰῶτα δηλοῖ, ὅ ἐστι ἄρτου ὀνομα^τ $\overline{ιυ}$, ἐν ᾧ μέτρῳ τὰ τρία μέτρα συναγόμενα ἐν ἑνὶ παρεῖχεν αὐτῆς τῆς ἁγίας 15 τριάδος τὴν ὁμοουσιότητα.

---


1 παρ'] IO, παρα L. Αἰγυπτίοις] I, Αἰγυπτίων P. 8 ὥστε] ωςς L, ὧδε O, ὥστε εἶναι I. τῷ αὐτῷ μέτρῳ] O, τω αυτω μετρον L, τὸ αὐτὸ μέτρον I. 9 ἃ] I, οι P. 10 τρόπον] des. I. 11 μάνα] des. O. ἢ] fort. $\overline{β}$; cfr. Exod. 16, 22. 13 γίνεται] ϗ post lac. 4 litt. L.

Name Artabe kommt vom ägyptischen „Ortob“, d. h. „schön gesammelt“.

5 3 Maß das kleine Gomor, das 6 Xesten ist, also $\frac{1}{10}$ Artabe.*) 12

Drei Maß feines Weizenmehl.**) Diese drei Maße faßten je 1 Gomor, 1 Gomor aber war $\frac{1}{10}$ des großen Maßes, d. h. der Artabe, was $7\frac{1}{5}$ Xesten gibt; folglich hielt dasselbe Maß 10 des Gomor wiederum 3 Maß zu $2\frac{1}{3}\,\frac{1}{15}$ Xesten. Und das Maß verhält sich in dieser Weise; denn auch die Manna wurde nach Maß geliefert, je 2 Gomor***) . . . . in welchem Maß die drei Maße in eins vereinigt die Wesenseinheit der heiligen Dreiheit selbst darstellten. 13

*) Unverständlich.
**) Bezieht sich auf 1. Buch Mosis 18, 6.
***) Das Folgende ist heillos verdorben und lückenhaft, der ganze Schluß höchst dunkel.



SCHOLIA

SCHOLIA.

1. Ad Geometr. 6, 2 p. 208[a], 14 (S[2] fol. 7[r]).

Κάθετος ἡ τῶν ιϛ. τὸ ∟′ τῶν ξβ ἐπὶ ταῦτα· γίνονται υϙϛ. τοσούτων τὸ ἐμβαδόν.

2. Ad Geometr. 24, 31 p. 434, 20 (S[3] fol. 7[v]).

Τετμήσθω ἡ τοῦ τριγώνου γωνία δίχα. διὰ δὲ τὸ γ′ τοῦ ϛ′ τῶν Στοιχείων τὰ τῆς βάσεως τμήματα τὸν αὐτὸν ἕξει λόγον ταῖς λοιπαῖς τοῦ τριγώνου πλευραῖς. αἱ δὲ λοιπαὶ ἴσαι· καὶ τὰ τμήματα ἴσα. ἐὰν δὲ δύο τρίγωνα τὰς δύο πλευρὰς ταῖς δυσὶ πλευραῖς ἴσας ἔχῃ καὶ τὴν βάσιν τῇ βάσει καὶ τὴν γωνίαν τῇ γωνίᾳ ἴσην ἔχῃ, καὶ αἱ λοιπαὶ γωνίαι ταῖς λοιπαῖς γωνίαις ἴσαι ἔσονται καὶ τὰ ἑξῆς. ὥστε κάθετος ἔσται ἡ ἐπὶ τὴν βάσιν ἠγμένη ἀπὸ τῆς κορυφῆς τοῦ τριγώνου· εἰς δύο οὖν ἴσα ὀρθογώνια τρίγωνα διαιρεῖται. ὥστε τὸ ἀπὸ τῆς ὑποτεινούσης τὴν ὀρθὴν γωνίαν ἴσον ἔσται τοῖς ἀπὸ τῶν τὴν ὀρθὴν γωνίαν περιεχουσῶν. τριακοντάκις δὲ τὰ λ ϡ· ἀλλὰ καὶ τὰ ιε′ ἐφ’ ἑαυτὰ σκε. ταῦτα ἐκβλητέον ἀπὸ τῶν ϡ′· λοιπὸν χοε. τούτων πλευρὰ παχύτερον τὰ κϛ′· τῶν γὰρ χοϛ ἐστὶ κυρίως· ὡς ἔγγιστα δὲ τὰ κε′ καὶ πεντηκονταὲν πεντηκοστὰ δεύτερα. ἔστω οὖν ὅμως ἡ κάθετος κϛ′· τὸ ἐμβαδὸν ἄρα τοῦ τριγώνου τϙ. (fol. 8[r]) *τοῦτο τετράκις, καὶ γίνεται τὸ γραφὲν παραλληλόγραμμον ἔχον τὸ ἐμβαδὸν ͵αφξ. σύνθες τὰς τρεῖς πλευράς, καὶ γίνεται εὐθεῖα ϙ′. παράβαλλε παρὰ ταύτην τὸ χωρίον, οὗ τὸ ἐμβαδὸν ͵αφξ, καὶ γίνεται τὸ πλάτος ἡ αβ ἤτοι ἡ διάμετρος τοῦ κύκλου ιζ γ′. τὸ αὐτὸ δὲ*




Fig. 91.

---

2 refertur ad numerum areae in figura correctum. 15 τὸ] τὸ | τὸ S. 17 λ ϡ] λ ϡ in ras. τὰ (alt.)] supra scr. 22 Ante τοῦτο del. τϙ. 25 *γίνεται εὐθεῖα*] Γ εὐθ. 27 τὸ πλάτος] supra scr.

εὑρεθήσεται καὶ κατὰ τὴν τοῦ Ἥρωνος ἀπόδειξιν, ἣν ἐν τῇ ἄνευ καθέτου εὑρέσει τοῦ ἐμβαδοῦ τῶν τριγώνων ἐξέθετο· ὃν γὰρ λόγον ἔχει τὸ ἀπὸ τῆς ἡμισείας τῆς περιμέτρου τοῦ τριγώνου, τῶν με δηλονότι· γίνονται δὲ ,βκε· πρὸς τὰ χοε τὰ γινόμενα ὑπὸ τῆς ἡμισείας τῆς περιμέτρου καὶ τῆς ὑπεροχῆς, ᾗ ὑπερέχει αὕτη τῆς πλευρᾶς, οὕτω καὶ τὸ ἀπὸ τῆς ὑπεροχῆς, τῶν ιε´ δηλαδή· γίνονται δὲ σκε· [πρὸς οε. ὧν πλευρὰ τετραγωνικὴ ὀκτὼ καὶ β γ´] πρὸς τὴν ἀπὸ τοῦ κέντρου τοῦ κύκλου τοῦ ἐγγραφομένου τῷ τριγώνῳ. ὃν δὲ λόγον ἔχει τὰ ,βκε πρὸς χοε´, τὸν αὐτὸν λόγον ἔχει καὶ τὰ σκε πρὸς οε· τριπλάσιον γάρ· ὥστε ἡ ἐκ τοῦ κέντρου ἔσται πλευρὰ τῶν οε´. ἔστι δὲ τῶν οε πλευρὰ ὡς ἔγγιστα η´ καὶ β´ γ´. τούτων διπλῆ ἡ διάμετρος ἤτοι ιζ´ γ´.

3. Ad Geometr. **24**, 31 p. 434, 20 (quo signo .9. refertur) (S[3] fol. 8[r]).

Σαφέστερον οὕτω δειχθήσεται· ἐπεὶ διὰ τὸ ιβ´ τοῦ ιγ´ τῶν Στοιχείων τὸ ἀπὸ τῆς πλευρᾶς τοῦ τριγώνου τριπλάσιόν ἐστι τοῦ ἀπὸ τῆς ἐκ κέντρου, ἔσται ἡ ἐκ τοῦ κέντρου πλευρὰ τῶν τ´· καὶ ταῦτα δίς, καὶ ἕξεις τὴν διάμετρον.

4. Ad Geometr. **24**, 32 p. 436, 10 (S[3] fol. 8[r]).

λδ∟´ ς´ μᾶλλον ἐν τῇ παραβολῇ μᾶλλον συμβάλλει τὸ η´.

5. Ad Geometr. **24**, 32 p. 436, 5 (S[3] fol. 8[r]).

Ἐπεὶ ἡ τοῦ τριγώνου πλευρὰ δυνάμει τριπλασίων τῆς ἐκ τοῦ κέντρου τοῦ κύκλου, ἡ δὲ διάμετρος τῆς ἐκ τοῦ κέντρου δυνάμει τετραπλασίων, τὸ ἀπὸ τῆς διαμέτρου ἐπίτριτον λόγον ἔχει πρὸς τὸ ἀπὸ τῆς πλευρᾶς. ἔστι δὲ καὶ ἡ διάμετρος τῆς καθέτου μήκει ἐπίτριτος· ἡ γὰρ ἐκ τοῦ κέντρου διπλασίων τῆς ἐκ τοῦ κέντρου ἐπὶ τὴν βάσιν τοῦ τριγώνου, ὡς ὁ Ὑψικλῆς ἐν τῷ πρώτῳ τῶν εἰς Εὐκλείδην ἀναφερομένων ἐπορίσατο καὶ Πάππος ἀπέδειξεν. τὸ δὲ

---

1 *Ἥρωνος*] Metr. I 8. 7 *πρὸς*—8 *γ´*] del. S; etiam seqq. inducta sunt. In fig., quae ipsa quoque deleta est, supra *αβ* numerus additus est (*υπ*?). 10 *,βκε*] *,β*- corr. ex *ς*. 21 *ς´*] incertum; quid uoluerit non satis intellego. 24 Inter *διαμέτρου* et *ἐπίτριτον* schol. 4 eadem manu prius scriptum. 29 *Ὑψικλῆς*] Eucl. opp. V p. 6, 15. 30 *Πάππος*] V 76.

ὑπὸ τῆς ἐπιτρίτου καὶ ὑπεπιτρίτου παραλληλόγραμμον ὑπεπίτριτόν ἐστι τοῦ ἀπὸ τῆς ἐπιτρίτου (διὰ τὸ μετὰ τὸ κα΄ τοῦ ι΄ τῶν Στοιχείων λῆμμα). ἔστι δὲ καὶ τὸ ἀπὸ τῆς πλευρᾶς τοῦ τριγώνου τοῦ αὐτοῦ τετραγώνου ὑπεπίτριτον· ἴσα ἄρα. ὥστε καὶ τὸ πλάτος τὸ γινόμενον ἐκ τῆς παραβολῆς τοῦ ἀπὸ τῆς πλευρᾶς τετραγώνου παρὰ τὴν κάθετον ἡ διάμετρός ἐστιν. 5

6. Ad Geometr. **24**, 33 p. 436, 11 (ad cuius fig. signo ☾ refertur) (S[3] fol. 8[r]).

Κατὰ τὴν τοῦ Ἥρωνος ἀπόδειξιν τὸ ∟΄΄ τῆς περιμέτρου τοῦ τριγώνου κα΄, τὸ ἀπ᾽ αὐτῆς υμα΄, τὸ ὑπὸ τῆς ἡμισείας ἤτοι τῶν κα΄ καὶ τῆς ὑπεροχῆς, ᾗ ὑπερέχει ἡ ἡμίσεια τῆς περιμέτρου τοῦ τριγώνου τὴν πλευρὰν τὴν οὖσαν ιδ΄ ἤτοι τῆς ζ΄ ρμζ. ὡς δὲ τὰ υμα πρὸς τὰ ρμζ· ἔστι δὲ τριπλασίονα· οὕτω τὸ ἀπὸ τῆς ὑπεροχῆς, ᾗ ὑπερέχει ἡ ἡμίσεια τῆς περιμέτρου τοῦ τριγώνου τὴν ιε΄ πλευράν, πρὸς τὸ ἀπὸ τῆς ἐκ τοῦ κέντρου τοῦ ἐγγραφομένου κύκλου τῷ τριγώνῳ· ἔστι δὲ ἡ τοιαύτη ὑπεροχὴ ϛ΄· ὥστε τὸ ἀπὸ ταύτης λϛ΄, τὸ δὲ ἀπὸ τῆς ἐκ τοῦ κέντρου ιβ΄. ἡ ἐκ τοῦ κέντρου ἄρα ἔσται πλευρὰ τοῦ ιβ΄, ἡ διπλῆ ταύτης διάγεται. ἔστι δὲ τῶν ιβ΄ ἡ πλευρὰ γ∟΄΄ ὡς ἔγγιστα· ἡ διάμετρος ἄρα ζ΄. 10 15 20

7. Ad Geometr. **24**, 34 p. 436, 20 (S[3] fol. 8[r]).

Ἡ κάθετος τοῦ τριγώνου ιβ τεμνομένης τῆς ιδ πλευρᾶς εἰς ε΄ καὶ θ΄, τὸ ἐμβαδὸν πδ. καὶ ἐπεὶ ὀξυγώνιον τὸ τρίγωνον, ἐν μείζονι τμήματι ἡμικυκλίου συνίσταται, κατὰ γοῦν τὴν ἀπόδειξιν τοῦ ε΄ θεωρήματος τοῦ δ τῶν Στοιχείων, ἐπεὶ τὸ κέντρον τοῦ κύκλου ἐντός ἐστι τοῦ τριγώνου. τέμνω τὴν μείζονα πλευρὰν καὶ τὴν ἐλάττονα δίχα, τὰς ιγ καὶ ιε΄, καὶ ἀπὸ τῶν διχοτομιῶν ἤχθωσαν κάθετοι 25

---

2 διὰ—3 λῆμμα] mg. interiore ead. manu, signo ·/. huc relata. 4 τετραγώνου] □ infra scr. 5 πλάτος] corr. ex μῆκος. 10 Ἥρωνος] Metr. I 8. 12 ἡ] corr. ex αὕτη. 13 ιδ΄] e corr. 14 τριπλασίονα] -ίονα incertum. 16 Ante πρὸς del. ἔστι δὲ ϛ΄ ... 20 διάγεται] h. e. διάμετρός ἐστι. 24 καὶ ἐπεὶ] e corr. 29 post ιε΄ del. καὶ ἀπὸ τοῦ δ . κτν κέντρου καθέτ.

ταῖς πλευραῖς αἱ $\overline{δζ}$, $\overline{ζε}$. συμπεσοῦνται οὖν. συμπιπτέτωσαν κατὰ τὸ ζ΄. καὶ ἐπεὶ αἱ $\overline{αδ}$, $\overline{δβ}$ ἴσαι εἰσί, κοινὴ δὲ ἡ $\overline{δζ}$, καὶ γωνία ἡ ὑπὸ $\overline{αδζ}$ γωνίᾳ τῇ ὑπὸ $\overline{ζδβ}$ ἴση, καὶ ἡ $\overline{αζ}$ τῇ $\overline{ζβ}$ ἴση· ὡσαύτως καὶ ἐπὶ τῶν ἄλλων. ὥστε αἱ $\overline{αζ}$, $\overline{ζβ}$, $\overline{ζγ}$ ἴσαι· κέντρον ἄρα ἐστὶ τὸ $\overline{ζ}$ τοῦ περὶ τὸ τρίγωνον γραφομένου κύκλου. ἐπεὶ δὲ ὀρθογώνιόν ἐστι τρίγωνον τὸ $\overline{βδζ}$, ἡ $\overline{βζ}$ τῆς $\overline{βδ}$ ἐπιτέταρτός ἐστιν· ἔστι δὲ ἡ $\overline{βδ}$ ς∟΄΄· ἡ ἄρα $\overline{βζ}$ ἔσται η΄ καὶ ὄγδοον. ἔστι δὲ ἐκ τοῦ κέντρου· ἡ διπλῆ ταύτης, ἥτις καὶ διάμετρός ἐστιν, ἔσται ις΄ καὶ δ΄. ἡ δέ γε $\overline{ζδ}$ δ΄ καὶ θ΄ δέκατα ἓν ὡς ἔγγιστα, ἡ $\overline{γδ}$ κάθετος ιβ καὶ $\overline{κε}$ εἰκοστοέκτων ὡς ἔγγιστα, ἡ $\overline{βε}$ κάθετος ια΄ ∟΄΄. ἔστι δὲ τὸ ὑπὸ τῶν δύο πλευρῶν τῶν ιγ΄ καὶ ιε΄ ἴσον τῷ ὑπὸ τῆς καθέτου ἤτοι τῶν ιβ καὶ τῆς διαμέτρου τῶν ις δ΄· παραβαλλόμενον οὖν τὸ ὑπὸ τῶν πλευρῶν παρὰ τὴν κάθετον πλάτος ποιεῖ τὴν διάμετρον.




Fig. 92.

8. Ad schol. 7 (pertinet ad lin. 18 sqq.) (S^3 fol. 8^v).
Τὸ ἀληθέστερον τοῦτό ἐστιν· ὃν λόγον ἔχει τὰ ιβ πρὸς τὰ ιγ΄, τὸν αὐτὸν λόγον ἔχει τὰ ιε΄ πρὸς τὰ ις δ΄. τὰ ἄρα ὑπὸ τῶν ἄκρων ἴσον τῷ ὑπὸ τῶν μέσων.

9. Ad Geometr. **24**, 35 p. 438, 3 (quo signo ☾ relatum est) (S^3 fol. 8^v).
Ἐπεὶ ἀμβλυγώνιόν ἐστι τὸ $\overline{αβγ}$ τρίγωνον, τὸ ἀπὸ τῆς $\overline{αγ}$ ὑπερέχει τῶν ἀπὸ $\overline{αβ}$, $\overline{βγ}$ τῷ δὶς ὑπὸ τῶν $\overline{γβ}$, $\overline{βδ}$. ὑπερέχει δὲ $\overline{ρη}$· ὥστε ἡ $\overline{δβ}$ ἔσται ἕξ ἡ ἄρα $\overline{αδ}$ ἔσται η΄. ξ΄

1 συμπιπέτωσαν. 17 εἰκοστοέκτων] corr. ex εἰκοστόεκτα (?). figuram 48 p. 437 expleuit S^3. 24 ιε΄] corr. ex ις δ΄. 25 ὑπὸ] corr. ex ἀπὸ. 30 ante ξ΄ eras. τοῦ (?).

οὖν ὄντος τοῦ ἐμβαδοῦ τοῦ ὀρθογωνίου τριγώνου τοῦ $\overline{\alpha\delta\gamma}$ καὶ ἀφῃρημένου ἐξ αὐτοῦ τοῦ ἐμβαδοῦ τοῦ $\overline{\alpha\delta\beta}$ κδʹ καταλείπεται τὸ ἐμβαδὸν τοῦ $\overline{\alpha\beta\gamma}$ ἀμβλυγωνίου τριγώνου λϛʹ. ἤχθω παράλληλος τῇ $\overline{\alpha\delta}$ ἡ ζθ· ἰσογώνια ἄρα τὰ τρίγωνα τὰ $\overline{\gamma\alpha\delta}$ γζθ· ἀνάλογον ἄρα αἱ πλευραὶ αἱ περὶ τὰς ἴσας γωνίας. ὃν ἄρα λόγον ἔχουσι τὰ ιζ πρὸς τὰ ηʹ· διπλασιεπόγδοον δέ· καὶ τὰ θʹ πρὸς τὰ $\overline{\delta}$· τεσσάρων ἄρα ἔσται ἡ ζθ διάμετρος τοῦ κύκλου ὡς ἔγγιστα. ἀλλὰ καὶ ὃν λόγον ἔχει τὰ ιε πρὸς τὰ ηʹ· ἔχει δὲ τὸν ηʹ καὶ ζʹ ὄγδοα· τὸν αὐτὸν καὶ τὰ ζʹ πρὸς τὰ $\overline{\delta}$· ἔχει γὰρ τὸν $\overline{\delta}$ καὶ $\overline{\zeta}$ ὄγδοα ἤτοι ἡμίση. ὡς ἔγγιστα δὲ εἶπον διὰ τὸ μὴ τετμῆσθαι ἀνάλογον κυρίως τὰς $\overline{\alpha\zeta}$, ζγ, δθ, θγ, ἀλλὰ παρὰ μικρὸν καὶ ἔγγιστα ἀνάλογον.




Fig. 93.

10. Ad Geometr. **24**, 36 p. 438, 19 (S[3] fol. 9[r]).




Fig. 94.

Ὃν λόγον ἔχει τὰ $\overline{\eta}$ πρὸς τὰ ιʹ, τὰ ιζ πρὸς τὰ καʹ δʹ· τὸ ἄρα ὑπὸ τῶν ἄκρων ἴσον τῷ ὑπὸ τῶν μέσων καὶ τὸ ὑπὸ τῶν μέσων ἴσον τῷ ὑπὸ τῶν ἄκρων.

11. Ad Geometr. **17**, 4 p. 332[a], 1 (S[3] fol. 9[r]).

Ἀπέδειξεν Ἀρχιμήδης, ὅτι ἡ περίμετρος τοῦ κύκλου τῆς διαμέτρου τριπλασιεφέβδομος ὡς ἔγγιστα, καὶ ὅτι ιαʹ τετράγωνα τὰ ἀπὸ τῆς διαμέτρου ἴσα γίνεται ιδ κύκλοις ἔχουσι τὴν αὐτὴν διάμετρον, ἀφʼ ἧς τὰ τετράγωνα. διὰ

16 τὸν (pr.)] corr. ex τ. 17 $\overline{\zeta}$] e corr. fig. 49 p. 438 expleuit S[3]. 23 ὑπὸ τῶν (pr.)] e corr. 24 ὑπὸ] corr. ex ἀπὸ. fig. 50 p. 439 mutauit S[3]. 29 γίνεται] Γ with ι above. 30 τετράγωνα] □ with α above.

τοῦτο ἑνδεκάκις ποιῶν τὸ τετράγωνον μερίζει παρὰ τὸν ιδʹ. καὶ ἐπεὶ τὰ κβʹ τῶν ζʹ τριπλασιεφέβδομα, τὴν διάμετρον ἐπὶ τὰ κβ, καὶ τὰ γινόμενα μέριζε παρὰ τὸν ζʹ, καὶ εὑρήσεις τὴν περίμετρον.

12. Ad Geometr. **17**, 5 p. 332ᵃ, 14 (S³ fol. 9ʳ). 5

Ἢ καὶ συντομώτερον οὕτω· τριπλασίασον τὴν διάμετρον καὶ τοῖς γινομένοις πρόσθες τὸ δʹ τῆς διαμέτρου, καὶ ἕξεις τὴν περίμετρον.

13. Ad Geometr. **17**, 6 p. 334ᵃ, 6 (S¹ fol. 9ʳ).

Τὴν περίμετρον ἐπὶ τὰ ζ̄ πολλαπλασιάζων καλῶς λαμβάνει 10 τῶν γινομένων τὸ κβʹ, ὅτι ὁ κ̄β̄ τοῦ ζ̄ τριπλασιεφέβδομός ἐστιν· ἀπέδειξε δὲ Ἀρχιμήδης τὴν τοῦ κύκλου περίμετρον τριπλασίαν οὖσαν τῆς διαμέτρου καὶ ἔτι ἑβδόμῳ μέρει ὑπερέχουσαν.

14. Ad Geometr. **17**, 1 p. 336ᵃ, 21 (S³ fol. 10ʳ). 15

Δείκνυσιν ὁ Ἀρχιμήδης, ὅτι τὸ ὑπὸ τῆς περιφερείας τοῦ κύκλου καὶ τῆς ἐκ τοῦ κέντρου διπλάσιόν ἐστι τοῦ κύκλου· τὸ ἄρα ὑπὸ τῆς διαμέτρου, διπλασίονος οὔσης τῆς ἐκ τοῦ κέντρου, καὶ τῆς περιφερείας τετραπλάσιόν ἐστι τοῦ κύκλου. διὰ τοῦτο ληπτέον τὸ δʹ. 20

15. Ad Geometr. **17**, 4 p. 336ᵃ, 10 (S³ fol. 10ʳ).

Ἐὰν ἅπαξ τὴν διάμετρον μετὰ τῆς περιμέτρου ποιήσας λαμβάνῃς τὸ δʹ. ἐὰν τὰ κβʹ τῆς περιμέτρου ποιήσας ἐφʼ ἑαυτά· γίνονται δὲ ῡπ̄δ̄· καὶ ταῦτα μετὰ τῆς διαμέτρου ἤτοι τῶν ζʹ, λήψῃ πάντως τὸ γινόμενον ὑπό τε τοῦ δʹ καὶ 25 τοῦ εἰκοστοδύου· τὰ γὰρ κβʹ τῶν ῡπ̄δ̄ εἰκοστόδυον· καὶ τὸ γινόμενον ἐκ τούτων μόριόν ἐστι τὸ ὀγδοηκοστοόγδοον. τὸ ὀγδοηκοστοόγδοον οὖν τῶν ,γτπη· ἔστι δὲ λη ∠ʺ· ἔσται τὸ ἐμβαδόν.

16. Ad Geometr. **18**, 4 p. 352ᵃ, 1 (S³ fol. 10ʳ). 30

Εἰ μὲν τὸν ὅλον κύκλον ἔμελλες μετρῆσαι, ὤφειλες λαβεῖν τὸ ιδʹ· δέδεικται γὰρ τῷ Ἀρχιμήδει, ὅτι ιαʹ τὰ ἀπὸ

---

1 παρὰ] e corr. 27 post ἐστι 1 litt. del.

τῆς διαμέτρου ιδ´ κύκλοις τοῖς τὴν αὐτὴν διάμετρον ἔχουσιν ἴσα εἰσί. ἐπεὶ δὲ τὸν ∠″, λαμβάνεις καὶ τὸ ∠″ τοῦ ιδ´ ἤτοι τὸ εἰκοστὸν ὄγδοον.

17. Ad Geometr. **20**, 4 p. 364[a], 1 (S[3] fol. 11[r]).

Τοῦ μείζονος τμήματος τοῦ κύκλου τὸ ἐμβαδὸν κατὰ τὴν τοῦ Ἥρωνος ἀπόδειξιν εὑρίσκεται οὕτως· ἀναπεπληρώσθω ὁ κύκλος, καὶ ἤχθω ἡ κάθετος ἐπὶ τὴν περιφέρειαν ἡ αεγ. καὶ ἐπεὶ ἡμικύκλιόν ἐστι τὸ αβγ, τὸ ἐγγραφόμενον αὐτῷ τρίγωνον τὸ αβγ δηλαδὴ ὀρθογώνιον ἔσται καὶ κάθετος ἐπὶ τὴν βάσιν ἡ βε. τὸ ἄρα ὑπὸ τῶν αε, εγ ἴσον τῷ ἀπὸ τῆς εβ. τὸ δὲ ἀπὸ τῆς βε ρμδ· καὶ τὸ ὑπὸ τῶν αε, εγ ἄρα. ἀλλ' ἡ αε ις´· ἡ εγ ἄρα θ´. εὑρεθήσεται οὖν τὸ ἐμβαδὸν τοῦ




Fig. 95.

βγδ τμήματος ἐλάττονος ὄντος ἡμικυκλίου κατὰ τὴν ἐφεξῆς μέθοδον. ἐπεὶ δὲ ἡ διάμετρος τοῦ κύκλου εὕρηται κε, ἡ περίμετρος ἔσται τριπλασιεφέβδομος. εὑρεθέντος οὖν καὶ τοῦ ἐμβαδοῦ τοῦ ὅλου κύκλου καὶ ἀφαιρεθέντος ἐξ ἐκείνου τοῦ ἐμβαδοῦ τοῦ ἐλάττονος τὸ λοιπὸν ἔσται τοῦ μείζονος τμήματος.

18. Ad Geometr. **19**, 5 p. 358, 30 (quo signo .9. relatum est) (S[3] fol. 11[r]).

Αὕτη ἡ μέθοδος ἐφαρμόζει ἐπὶ τῶν ἐλαττόνων τοῦ ἡμικυκλίου τμημάτων, οὐ μέντοι ἐπὶ πάντων, ἀλλ' ἐφ' ὅσων ἡ βάσις τῶν τμημάτων μὴ μείζων ᾖ ἢ τριπλασίων τῆς καθέτου· ἐφ' ὅσων δὲ μὴ οὕτως ἔχει, ὡς ἐπὶ τοῦ ἔχοντος τὴν βάσιν μ´, τὴν δὲ κάθετον ι´, τότε χρὴ λαμβάνειν τὸ ἐμβαδὸν τοῦ τριγώνου τοῦ ἐγγραφομένου εἰς τὸ τμῆμα

---

5 τοῦ—τμήματος] corr. ex τὸ μεῖζον τμῆμα. 6 Ἥρωνος] Metr. I 33. figuram a m. 1 semicirculum cum radio ις praebentem in circulum expleuit S[3], deinde arcum βγδ minorem fecit. 25 Aliud initium ἔοικεν ὡς ἡ τοιαύτη μέθοδος ἀπὸ τῶν ἡμικυκλίων ἐλήφθη. ἔστω γὰρ ἡμικύ del. 27 τριπλασίων] τρι- e corr. 28 μὴ] e corr. ὡς] e corr.

τοῦ κύκλου καὶ προστιθέναι αὐτῷ τὸ τρίτον τούτου καὶ τοσούτων ἀποφαίνεσθαι τὸ τμῆμα τοῦ κύκλου· δείκνυσι γὰρ ὁ Ἀρχιμήδης, ὅτι πᾶν τμῆμα κύκλου μεῖζόν ἐστιν ἢ ἐπίτριτον τριγώνου τοῦ τὴν αὐτὴν βάσιν ἔχοντος καὶ ὕψος ἴσον. ὅμως ὡς ἔγγιστα τοσούτων ἀποφαντέον τὸ β̄ τοῦ κύκλου τμῆμα. ἐπεὶ οὖν ἡ βάσις τοῦ τμήματος μ̄, ἡ δὲ κάθετος ῑ, τοῦ τριγώνου τοῦ ἐγγραφομένου εἰς τὸ τμῆμα τὸ ἐμβαδὸν ἔσται σ̄. τούτοις προσθετέον τούτων τὸ τρίτον· ἔστι δὲ ξς δίμοιρον· τὸ ἄρα ἐμβαδὸν τοῦ τμήματος ἔσται σξς β. ἐπεὶ δὲ διὰ τὸ λε´ θεώρημα τοῦ τρίτου τῶν Στοιχείων, ἐὰν ἐν κύκλῳ δύο εὐθεῖαι τέμνωσιν ἀλλήλας, τὸ ὑπὸ τῶν τμημάτων τῆς μιᾶς ἴσον ἐστὶ τῷ ὑπὸ τῶν τμημάτων τῆς ἑτέρας, τὸ δὲ ὑπὸ τῶν τμημάτων τῆς βάσεώς ἐστι ῡ, καὶ τὸ ὑπὸ τῆς καθέτου καὶ τοῦ ἑτέρου τμήματος τῆς διαμέτρου ἔσται καὶ αὐτὸ ῡ· ὥστε ἡ διάμετρος ἔσται ῡ. ἡ ἄρα περίμετρος τοῦ ἡμικυκλίου ἔσται οη δ´ ἔβδομα καὶ τὸ ἐμβαδὸν τοῦ ἡμικυκλίου ͵αξη ∟″ δ´· ὥστε, ὃν λόγον ἔχει τὸ ἐμβαδὸν πρὸς τὸ ἐμβαδόν, καὶ ἡ περιφέρεια πρὸς τὴν περιφέρειαν.

19. Ad Geometr. **20**, 9 p. 370[a], 6 (S[3] fol. 12[r]).
Ὡς ὁ Ἥρων ἀπέδειξε μᾶλλον· ἐπὶ γὰρ τῶν τμημάτων τῶν ἐχόντων τὴν βάσιν μείζονα τῆς καθέτου ἢ τριπλασίονα ἐκείνη ἐφαρμόζει μᾶλλον.

20. Ad Stereometr. I, **3** p. 4[b], 1 (S[1] fol. 12[r]).
Ἐπεὶ γὰρ Ἀρχιμήδης ἀπέδειξεν, ὅτι ια̅ κύβοι οἱ ἀπὸ τῆς διαμέτρου τῆς σφαίρας ἴσοι γίνονται κα̅ σφαίραις, διὰ τοῦτο τὴν διάμετρον πρῶτον μὲν ἐφ᾽ ἑαυτήν, εἶτα ἐπὶ τὰ γινόμενα πολλαπλασιάζει, ἵνα τὸν ἐξ αὐτῆς κύβον λάβῃ. ταῦτα πάλιν ἑνδεκάκις ποιῶν μερίζει παρὰ τὸν κα̅.

21. Ad Stereometr. I, **3** p. 4[b], 23 (S[3] fol. 12[v]).
Ἀπέδειξεν Ἀρχιμήδης ἐν τοῖς περὶ σφαιρικῶν, ὡς ἡ τῆς σφαίρας ἐπιφάνεια τετραπλασία ἐστὶ τοῦ ἐν αὐτῇ μεγίστου κύκλου. δεδομένης οὖν τῆς περιμέτρου καὶ τῆς διαμέτρου

---

2 τοσούτων] e corr. 3 Ἀρχιμήδης] cfr. Hero, Metr. I 32. 21 Ἥρων] Metr. I 32. 25 Ἀρχιμήδης] De sph. et cyl. I 34 coroll. 26 σφαίραις] σφαίραι. 31 Ἀρχιμήδης] De sph. et cyl. I 33

πολλαπλασίασον τὴν διάμετρον μετὰ τῆς περιμέτρου καὶ τοῦ ἐκ τούτων γεγονότος τέταρτον ὁ κύκλος· ὥστε τὸ ὅλον ἡ τῆς σφαίρας ἐπιφάνεια, εἴ γε τετραπλασίων ἐστὶν τοῦ ἐν αὐτῇ μεγίστου κύκλου.

5 22. Ad Stereometr. I, **55** p. 58, 6: ἀέρα (S[3] fol. 12[v]).

Ἤτοι σφαῖραν μὴ ναστήν.

23. Ad Stereometr. I, **55** p. 58, 10 (S[3] fol. 12[v]).

Ἡ αἰτία προείρηται.

24. Ad Stereometr. I, **56** p. 58, 23 (S[3] fol. 12[v]).

10 Ἐπεὶ ια΄ κύβοι ἀπὸ τῆς διαμέτρου τῆς σφαίρας ἴσοι γίνονται κα΄ σφαίραις, καλῶς ἐπὶ μὲν σφαιρῶν μερίσεις παρὰ τὰ κα΄, ἐπὶ δὲ ἡμισφαιρίων παρὰ τὰ μβ΄· αἱ γὰρ κα΄ σφαῖραι ἡμισφαίρια μβ΄.

25. Ad Stereometr. I, **58** p. 60, 15 (ubi add. —ϛ) (S[3] fol. 13[r]).

15 ϛ̄ Ἡ διάμετρος μετὰ τῆς περιμέτρου τοῦ ἡμισφαιρίου ποιεῖ τὸ ὅλον τῆς σφαίρας· ὥστε τὸ ∠″ τούτων τῶν ἀποτελουμένων ἔσται τὸ ἐμβαδὸν τοῦ ἡμισφαιρίου.

26. Ad Stereometr. I, **59** p. 60, 22 (S[3] fol. 13[v]).

Ἐπεὶ ἐπὶ μὲν ὅλης τῆς σφαίρας ἐγίνετο ὁ μερισμὸς παρὰ 20 τὰ κα΄, δι᾽ ἣν αἰτίαν εἴρηκεν, ἐπὶ δὲ τοῦ ἡμισφαιρίου παρὰ τὰ μβ΄, ἀκολούθως ἐπὶ τοῦ τεταρτημορίου τῆς σφαίρας παρὰ τὰ π̄δ̄.

27. Ad Stereometr. I, **19** p. 20[b], 5 (S[1] fol. 14[r]).

Ὅτι καὶ καθόλου πᾶν σχῆμα στερεὸν πάχος ἔχον ἴσον καὶ 25 τὸ ὕψος πρὸς ὀρθὰς τῇ βάσει μετρεῖται τῆς βάσεως αὐτοῦ μετρηθείσης καὶ ἐπὶ τὸ ὕψος πολλαπλασιασθείσης· τοῦτο γὰρ καὶ Ἥρων ἐν ἑτέροις ἀπέδειξεν.

28. Ad Stereometr. I, **12** p. 10[b], 10 (S[1] fol. 14[r]).

Ἐπεὶ γὰρ ἐν τῷ ἐπάνω θεωρήματι τὸ στερεὸν τοῦ κυλίν- 30 δρου μετρῶν τὸ τῆς βάσεως ἐμβαδὸν ἐπὶ τὸ ὕψος ὅλον αὐτοῦ πολλαπλασιάζει, καλῶς ἄρα τὸν κῶνον ἄρτι μετρῶν

---

3 post ἡ del. τοῦ κύκλου. 12 τὰ (pr.)] supra scr. 27 Ἥρων] Metr. II 3.

ἐπὶ τὸ τρίτον τοῦ ὕψους τὸ ἐμβαδὸν τῆς βάσεως ἐπολλαπλασίασεν· ἀπέδειξε γὰρ Εὐκλείδης ἐν τῷ β′ τῶν στερεῶν, ὅτι πᾶς κῶνος κυλίνδρου τρίτον μέρος ἐστὶ τοῦ τὴν αὐτὴν βάσιν ἔχοντος αὐτῷ καὶ ὕψος ἴσον.

29. Ad Stereometr. I, **18**, 3 p. 18[b], 15 (S[3] fol. 14[v]). 5
Ζήτει περὶ τῆς ἐπιφανείας τοῦ κώνου.

30. Ad Stereometr. I, **63** p. 62, 19 (S[3] fol. 15[v]).
Εἰ μὲν βούλεται λαβεῖν τὴν ὑποτείνουσαν τὴν γωνίαν τὴν ὑπὸ τῆς ἀπὸ τῆς κορυφῆς τῆς πυραμίδος ἠγμένης καθέτου ἐπὶ τὴν πλευρὰν καὶ τῆς ἡμισείας τῆς πλευρᾶς, ὀρ- 10 θῶς ἔχει ἡ μέθοδος. ἐπεὶ δὲ οὐχ ἡ κάθετος αὕτη τὸ ὕψος τῆς πυραμίδος ἐστίν, ἀλλ' ἡ ἀπὸ τῆς κορυφῆς τῆς πυραμίδος ἐπὶ τὸ ἐπίπεδον ἐντὸς ἀγομένη, ἥτις καὶ τέμνει τὴν διάμετρον τοῦ ἐπιπέδου δίχα, οὐχὶ τῆς πλευρᾶς δεῖ λαβεῖν τὸ L″, ἀλλὰ τῆς διαμέτρου. ἑκάστη δὲ ἡμίσεια τῆς 15 διαμέτρου πλευρά ἐστι τῶν σ̄· ἡ γὰρ ὅλη διάμετρος τῶν ω̄ ἐστὶ πλευρά.

31. Ad Stereometr. I, **39**, 1 p. 42[b], 1 (S[3] fol. 16[r]).
Ὀρθῶς ἔχει ἡ μέθοδος αὕτη· ἡ γὰρ διάμετρος τοῦ τετραγώνου τούτου πλευρὰ τῶν σ̄ ἐστιν, εἴ γε ἡ πλευρὰ ῑ· ὥστε 20 ἡ ἡμίσεια τῆς διαμέτρου τῶν ν′· τὰ μήκει γὰρ διπλάσια δυνάμει τετραπλάσια.

32. Ad Stereometr. I, **32**, 1 p. 32[b], 7 (S[3] fol. 16[v]).
Ἡ μέθοδος αὕτη μετὰ ἀποδείξεως ἐν τοῖς Ἥρωνος.

33. Ad Stereometr. I, **35**, 1 p. 36[b], 7 (S[3] fol. 17[r]). 25
Διὰ τὸ ιβ′ τοῦ ιγ′ τῶν Στοιχείων· λέγει γάρ· ἐὰν εἰς κύκλον τρίγωνον ἰσόπλευρον ἐγγραφῇ, ἡ τοῦ τριγώνου πλευρὰ δυνάμει τριπλασίων ἐστὶ τῆς ἐκ τοῦ κέντρου τοῦ κύκλου.

34. Ad Stereometr. I, **44** p. 50, 26 (S[3] fol. 17[r]). 30
Ὥσπερ ἐπὶ τοῦ κύκλου τὸ τῆς διαμέτρου ἕβδομον.

---

2 Εὐκλείδης] Elem. XII 10. **9** ante ὑπὸ (ὑ- corr. ex ἀ-) del. γινομένην. **15** ἑκάστη] incertum. **24** Ἥρωνος] Metr. II 7.

35. Ad Stereometr. I, **42** p. 46[b], 1 (S[3] fol. 17[v]).
ϹΗ̄ *ταῦτα.*

36. Ad Stereometr. II, **20** p. 98, 7 (S[1] fol. 45[v]).
Ταὐτὸν δέ ἐστι καὶ κόλουρος πυραμὶς ἀπὸ τετραγώνου
5 *βάσεως ναστὴ οὖσα.*

37. Ad Stereometr. II, **27** (S[1] fol. 47[r] mg. inf.).
Δύο γὰρ γίνεται ὅμοια τρίγωνα ὀρθογώνια τό τε ὑπὸ τῆς ἀκτίνος καὶ τῆς ῥάβδου καὶ τῆς σκιᾶς αὐτῆς περιεχόμενον καὶ τὸ ὑπὸ τῆς ἀκτίνος καὶ τοῦ κίονος ἢ τοῦ δένδρου
10 *καὶ τῆς σκιᾶς αὐτοῦ, καί ἐστιν ἀνάλογον, ὡς ἡ σκιὰ τῆς ῥάβδου πρὸς αὐτὴν τὴν ῥάβδον, οὕτως ἡ σκιὰ τοῦ κίονος ἢ τοῦ δένδρου πρὸς τὸν κίονα ἢ τὸ δένδρον. ἔστι δὲ λόγος τῆς σκιᾶς τῆς ῥάβδου πρὸς τὴν ῥάβδον δοθείς· ἄμφω γὰρ μετρεῖσθαι δύνανται· καὶ ὁ τῆς σκιᾶς ἄρα τοῦ δέν-*
15 *δρου πρὸς τὸν κίονα ἢ τὸ δένδρον λόγος δεδομένος ἔσται. δεδομένη δὲ καὶ ἡ ἑκάστου τούτων σκιά· καὶ γὰρ δυνατόν ἐστι παραθέσει ῥητοῦ κανόνος μετρεῖσθαι· δέδοται ἄρα καὶ ὁ κίων ἢ τὸ δένδρον τῷ ὕψει.*

38. Ad Stereometr. II, **44** p. 124, 9; u. appar. crit. (S[1] fol. 52[r]).

---

4 *κόλουρος*] mut. in *κώλουρος* in scrib. 14 *δύνανται*] *δύναται.* *τοῦ*] scrib. *τοῦ κίονος ἢ τοῦ.*

INDICES

AD VOLL. IV ET V

I

INDEX VERBORUM

Citantur paginae et uersus, uoluminis IV nullo praemisso numero, uoluminis V addito V

II

INDEX NOMINUM AD VOLL. IV—V